**Mark 4:1-9 (NA27)**

Καὶ πάλιν ἤρξατο διδάσκειν
παρὰ τὴν θάλασσαν·

καὶ συνάγεται
πρὸς αὐτὸν ὄχλος πλεῖστος ,

ὥστε
αὐτὸν εἰς πλοῖον ἐμβάντα
καθῆσθαι ἐν τῇ θαλάσσῃ,

καὶ πᾶς ὁ ὄχλος
πρὸς τὴν θάλασσαν
ἐπὶ τῆς γῆς
ἦσαν .

καὶ ἐδίδασκεν αὐτοὺς
ἐν παραβολαῖς πολλὰ

καὶ ἔλεγεν αὐτοῖς
ἐν τῇ διδαχῇ αὐτοῦ ·

Ἀκούετε.

ἰδοὺ ἐξῆλθεν ὁ σπείρων σπεῖραι.

καὶ ἐγένετο ἐν τῷ σπείρειν

ὃ μὲν ἔπεσεν
παρὰ τὴν ὁδόν ,
καὶ ἦλθεν τὰ πετεινὰ καὶ κατέφαγεν αὐτό .

καὶ ἄλλο ἔπεσεν
ἐπὶ τὸ πετρῶδες
ὅπου οὐκ εἶχεν γῆν πολλήν ,
καὶ εὐθὺς ἐξανέτειλεν
διὰ τὸ μὴ ἔχειν βάθος γῆς ·
καὶ ὅτε ἀνέτειλεν ὁ ἥλιος ἐκαυματίσθη
καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν
ἐξηράνθη .

καὶ ἄλλο ἔπεσεν
εἰς τὰς ἀκάνθας ,
καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ συνέπνιξαν αὐτό ,
καὶ καρπὸν οὐκ ἔδωκεν .

καὶ ἄλλα ἔπεσεν
εἰς τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπὸν
ἀναβαίνοντα καὶ αὐξανόμενα καὶ ἔφερεν
ἓν τριάκοντα
καὶ ἓν ἑξήκοντα
καὶ ἓν ἑκατόν .

καὶ ἔλεγεν ·
ὃς ἔχει ὦτα ἀκούειν ἀκουέτω .